πρὸς τὸν θεόν. [19]καὶ μετέβαλεν κύριος ἄνεμον ἀπὸ θαλάσσης 19
σφοδρόν, καὶ ἀνέλαβεν τὴν ἀκρίδα καὶ ἐνέβαλεν αὐτὴν εἰς τὴν
ἐρυθρὰν θάλασσαν, καὶ οὐχ ὑπελείφθη ἀκρὶς μία ἐν πάσῃ γῇ Αἰ-
γύπτου. [20]καὶ ἐσκλήρυνεν κύριος τὴν καρδίαν Φαραω, καὶ οὐκ ἐξαπ- 20
έστειλεν τοὺς υἱοὺς Ισραηλ.
[21]Εἶπεν δὲ κύριος πρὸς Μωυσῆν Ἔκτεινον τὴν χεῖρά σου εἰς 21
τὸν οὐρανόν, καὶ γενηθήτω σκότος ἐπὶ γῆν Αἰγύπτου, ψηλαφητὸν
σκότος. [22]ἐξέτεινεν δὲ Μωυσῆς τὴν χεῖρα εἰς τὸν οὐρανόν, καὶ 22
ἐγένετο σκότος γνόφος θύελλα ἐπὶ πᾶσαν γῆν Αἰγύπτου τρεῖς ἡμέ-
ρας, [23]καὶ οὐκ εἶδεν οὐδεὶς τὸν ἀδελφὸν αὐτοῦ τρεῖς ἡμέρας, καὶ 23
οὐκ ἐξανέστη οὐδεὶς ἐκ τῆς κοίτης αὐτοῦ τρεῖς ἡμέρας· πᾶσι δὲ
τοῖς υἱοῖς Ισραηλ ἦν φῶς ἐν πᾶσιν, οἷς κατεγίνοντο. [24]καὶ ἐκάλε- 24
σεν Φαραω Μωυσῆν καὶ Ααρων λέγων Βαδίζετε, λατρεύσατε κυ-
ρίῳ τῷ θεῷ ὑμῶν· πλὴν τῶν προβάτων καὶ τῶν βοῶν ὑπολίπε-
σθε· καὶ ἡ ἀποσκευὴ ὑμῶν ἀποτρεχέτω μεθ᾽ ὑμῶν. [25]καὶ εἶπεν 25
Μωυσῆς Ἀλλὰ καὶ σὺ δώσεις ἡμῖν ὁλοκαυτώματα καὶ θυσίας, ἃ
ποιήσομεν κυρίῳ τῷ θεῷ ἡμῶν, [26]καὶ τὰ κτήνη ἡμῶν πορεύσεται 26
μεθ᾽ ἡμῶν, καὶ οὐχ ὑπολειψόμεθα ὁπλήν· ἀπ᾽ αὐτῶν γὰρ λημψό-
μεθα λατρεῦσαι κυρίῳ τῷ θεῷ ἡμῶν· ἡμεῖς δὲ οὐκ οἴδαμεν, τί
λατρεύσωμεν κυρίῳ τῷ θεῷ ἡμῶν, ἕως τοῦ ἐλθεῖν ἡμᾶς ἐκεῖ.
[27]ἐσκλήρυνεν δὲ κύριος τὴν καρδίαν Φαραω, καὶ οὐκ ἐβουλήθη 27
ἐξαποστεῖλαι αὐτούς. [28]καὶ λέγει Φαραω Ἄπελθε ἀπ᾽ ἐμοῦ, πρόσεχε 28
σεαυτῷ ἔτι προσθεῖναι ἰδεῖν μου τὸ πρόσωπον· ᾗ δ᾽ ἂν ἡμέρᾳ
ὀφθῇς μοι, ἀποθανῇ. [29]λέγει δὲ Μωυσῆς Εἴρηκας· οὐκέτι ὀφθή- 29
σομαί σοι εἰς πρόσωπον.
[1]Εἶπεν δὲ κύριος πρὸς Μωυσῆν Ἔτι μίαν πληγὴν ἐπάξω ἐπὶ 11
Φαραω καὶ ἐπ᾽ Αἴγυπτον, καὶ μετὰ ταῦτα ἐξαποστελεῖ ὑμᾶς ἐντεῦ-
θεν· ὅταν δὲ ἐξαποστέλλῃ ὑμᾶς, σὺν παντὶ ἐκβαλεῖ ὑμᾶς ἐκβολῇ.
[2]λάλησον οὖν κρυφῇ εἰς τὰ ὦτα τοῦ λαοῦ, καὶ αἰτησάτω ἕκαστος 2
παρὰ τοῦ πλησίον καὶ γυνὴ παρὰ τῆς πλησίον σκεύη ἀργυρᾶ καὶ
χρυσᾶ καὶ ἱματισμόν. [3]κύριος δὲ ἔδωκεν τὴν χάριν τῷ λαῷ αὐτοῦ 3
ἐναντίον τῶν Αἰγυπτίων, καὶ ἔχρησαν αὐτοῖς· καὶ ὁ ἄνθρωπος
Μωυσῆς μέγας ἐγενήθη σφόδρα ἐναντίον τῶν Αἰγυπτίων καὶ ἐναν-
τίον Φαραω καὶ ἐναντίον πάντων τῶν θεραπόντων αὐτοῦ.
[4]Καὶ εἶπεν Μωυσῆς Τάδε λέγει κύριος Περὶ μέσας νύκτας ἐγὼ 4
εἰσπορεύομαι εἰς μέσον Αἰγύπτου, [5]καὶ τελευτήσει πᾶν πρωτότο- 5

18 τον θεον] κυριον A || 19 ανεμον / απο θαλ.] tr. A | ενεβαλεν] εβαλεν B† | ερυθρ. θαλ.] θαλ. την ερ. A || 22 χειρα] + αυτου A || 23 τρεις ημερας $1^0$ > A | ανεστη A | ην φως] tr. B† || 26 υπολειφθησομεθα B† || 28 λεγει] + αυτω A

11 1 εξαποστελλη] εξ > A | εκβαλει υμ. / εκβολη] tr. A || 2 πλησιον $1^0$ ⌒ $2^0$ B* || 3 παντων > A